3a Καὶ εἶπεν Μαρδοχαῖος Παρὰ τοῦ θεοῦ ἐγένετο ταῦτα· 3b ἐμνή- 3a 3b
σθην γὰρ περὶ τοῦ ἐνυπνίου, οὗ εἶδον περὶ τῶν λόγων τούτων·
οὐδὲ γὰρ παρῆλθεν ἀπ' αὐτῶν λόγος. 3c ἡ μικρὰ πηγή, ἣ ἐγένετο 3c
ποταμὸς καὶ ἦν φῶς καὶ ἥλιος καὶ ὕδωρ πολύ· Εσθηρ ἐστὶν ὁ πο-
ταμός, ἣν ἐγάμησεν ὁ βασιλεὺς καὶ ἐποίησεν βασίλισσαν. 3d οἱ δὲ 3d
δύο δράκοντες ἐγώ εἰμι καὶ Αμαν. 3e τὰ δὲ ἔθνη τὰ ἐπισυναχθέντα 3e
ἀπολέσαι τὸ ὄνομα τῶν Ιουδαίων. 3f τὸ δὲ ἔθνος τὸ ἐμόν, οὗτός 3f
ἐστιν Ισραηλ οἱ βοήσαντες πρὸς τὸν θεὸν καὶ σωθέντες· καὶ ἔσω-
σεν κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐρρύσατο κύριος ἡμᾶς ἐκ πάντων
τῶν κακῶν τούτων, καὶ ἐποίησεν ὁ θεὸς τὰ σημεῖα καὶ τὰ τέρατα
τὰ μεγάλα, ἃ οὐ γέγονεν ἐν τοῖς ἔθνεσιν. 3g διὰ τοῦτο ἐποίησεν 3g
κλήρους δύο, ἕνα τῷ λαῷ τοῦ θεοῦ καὶ ἕνα πᾶσι τοῖς ἔθνεσιν·
3h καὶ ἦλθον οἱ δύο κλῆροι οὗτοι εἰς ὥραν καὶ καιρὸν καὶ εἰς ἡμέ- 3h
ραν κρίσεως ἐνώπιον τοῦ θεοῦ καὶ ἐν πᾶσι τοῖς ἔθνεσιν, 3i καὶ ἐμνή- 3i
σθη ὁ θεὸς τοῦ λαοῦ αὐτοῦ καὶ ἐδικαίωσεν τὴν κληρονομίαν αὐ-
τοῦ. 3k καὶ ἔσονται αὐτοῖς αἱ ἡμέραι αὗται ἐν μηνὶ Αδαρ τῇ τεσ- 3k
σαρεσκαιδεκάτῃ καὶ τῇ πεντεκαιδεκάτῃ τοῦ αὐτοῦ μηνὸς μετὰ συν-
αγωγῆς καὶ χαρᾶς καὶ εὐφροσύνης ἐνώπιον τοῦ θεοῦ κατὰ γενεὰς
εἰς τὸν αἰῶνα ἐν τῷ λαῷ αὐτοῦ Ισραηλ.
3l Ἔτους τετάρτου βασιλεύοντος Πτολεμαίου καὶ Κλεοπάτρας εἰσ- 3l
ήνεγκεν Δωσίθεος, ὃς ἔφη εἶναι ἱερεὺς καὶ Λευίτης, καὶ Πτολεμαῖος
ὁ υἱὸς αὐτοῦ τὴν προκειμένην ἐπιστολὴν τῶν Φρουραι, ἣν ἔφασαν
εἶναι καὶ ἑρμηνευκέναι Λυσίμαχον Πτολεμαίου τῶν ἐν Ιερουσαλημ.

3a μαρδοχαιος] pr. ο S 58 93† || 3b γαρ 1⁰ > AO | ουδε γαρ] ου γαρ S†, ουδεν A 93† | απ > A 58† || 3c η 2⁰] > SA, ητις Sc† || 3d δυο > A† || 3e επισυναχθ.] επι > A 93† || 3f ισραηλ] pr. ο A | κυριος 1⁰ > A† | κυριος 2⁰ > AO || 3g > A | λαω του θεου] θεω του λαου S†, θεω 93† || 3h > B*† | ουτοι] > A†, αυτοι S† | καιρον] κληρον SABs 58 93† | εν > S* ABs 58 93† | τοις > A† || 3i ο θεος] ο κυριος A†, κυριος pau. | αυτου ult.] εαυ. B || 3k -δεκατη 1⁰⌒2⁰ S*A*† | γενεαν A || 3l δοσιθεος Bc | ο > A 58 93† | φρουραι] φρουριμ Sc†, φουρουρειμ 93†, φουρειν 58†, φρουραια A†: cf. 9 29 | ηρμηνευκεναι A

Subscr. εσθηρ BSA

## ΙΟΥΔΙΘ

1 Ἔτους δωδεκάτου τῆς βασιλείας Ναβουχοδονοσορ, ὃς ἐβασί- 1
λευσεν Ἀσσυρίων ἐν Νινευη τῇ πόλει τῇ μεγάλῃ, ἐν ταῖς ἡμέραις
Αρφαξαδ, ὃς ἐβασίλευσεν Μήδων ἐν Ἐκβατάνοις, 2 καὶ ᾠκοδόμησεν 2

Idt.: BSA (11 13 καθηκεν — 13 9 αυτου fere omnia interierunt in S); cum S multis locis concordant 58 (et 583, cf. Est. adnot. ad init.) et L = 19 108.

1 1 τη πολει τη μεγ.] τη μεγ. πολ. S†